ac animalium principia, cauſæ quidem ſunt: bonum verò, & perfectum in iis eſſe, quæ ex his ſunt, non rectè putant. Sperma nanque ex aliis prioribus perfectis eſt, neque ſperma primum eſt, ſed quod perfectum eſt: veluti hominem dicere quiſpiam poſſit priorem ſpermate eſſe, non illum, qui eo generatur, ſed alium, ex quo ipſum ſperma eſt. Quòd itaque eſt quędam æterna, immobiliſque ſubſtantia, & à ſenſibilibus ſeparata, conſtat ex dictis. Oſtenſum autem eſt, quòd nec vllam magnitudinem poſſibile eſt hanc ſubſtantiam habere, verùm impartibilis, indiuiſibilíſque eſt. Nam infinito tempore mouet: nihil verò finitum infinitam potentiam habet. Cùm verò omnis magnitudo aut infinita, aut finita ſit, finitam quidem propter hoc non haberet magnitudinem: infinitam verò, quoniam omnino nulla eſt infinita magnitudo. At verò & quoniam quid impaſſibile & immutabile eſt: omnes nanque reliqui motus poſteriores eo ſunt, qui ſecundum locum eſt. Et quidẽ hæc, propter quid hoc ſe habeant modo, dilucida ſunt.

CAPVT VIII.

VTrum autem vna ſit ponenda talis ſubſtantia, an plures, & quot, non oportet nos latere, ſed meminiſſe quoque aliorum ſententias, quod de pluralitate, nihil quod dictu egregium ſit, dixerunt. De ideis nanque opinio nullam accommodatam conſiderationem habet. Numeros nanque dicunt ideas, qui dicunt ideas eſſe: de numeris verò quandoque vt de infinitis aiunt, quandoque tanquam vſque ad denarium determinatis: qua verò de cauſa tanta numerorum pluralitas ſit, nihil cum diligentia demonſtratiua dicitur. Nobis verò ex præſuppoſitis, atque determinatis dicendum eſt. Principium enim, ac primum entium, tum per ſe, tum per accidẽs, immobile eſt: mouens autem, primo, ſempiterno, & vno motu. Cùm verò quod mouetur, neceſſe ſit ab aliquo moueri, primúmq. mouens immobile per ſe, eſſe, ac motũ æternum ab æterno moueri & vnũ, ab vno, videmúſq. præter ſimplicem lationem totius, quam dicimus primam ſubſtantiam, & immobilem mouere, & cæteras etiam lationes, quæ errantium ſunt, ſempiternas eſſe, (ſempiternum nanque, & irrequieſcibile, circulare corpus eſt: monſtratum autem eſt de his in Phyſicis) neceſſe eſt harum quoque lationum vnamquanque à per ſe immobili, & æterna ſubſtantia moueri. Nã & ſtellarum natura, perpetua ſubſtãtia quædã exiſtẽs:

A καὶ τῶν ζώων τὰς ἀρχὰς αἴτια μὲν εἶναι, τὸ δὲ καλὸν καὶ τὸ τέλειον ἐν τοῖς ἐκ τούτων, οὐκ ὀρθῶς οἴονται. τὸ γὰρ σπέρμα, ἐξ ἑτέρων ἐστὶ προτέρων τελείων· καὶ τὸ πρῶτον οὐ σπέρμα ἐστὶν, ἀλλὰ τὸ τέλειον· οἷον πρότερον ἄνθρωπον ἂν φαίη τις εἶναι τοῦ σπέρματος, οὐ τὸν ἐκ τούτου γινόμενον, ἀλλ᾽ ἕτερον ἐξ οὗ τὸ σπέρμα. ὅτι μὲν οὖν ἐστὶν οὐσία τις ἀΐδιος, καὶ ἀκίνητος, B καὶ κεχωρισμένη τῶν αἰσθητῶν, φανερὸν ἐκ τῶν εἰρημένων. δέδεικται δὲ, καὶ ὅτι μέγεθος οὐδὲν ἐνδέχεται ἔχειν ταύτην τὴν οὐσίαν, ἀλλὰ ἀμερὴς καὶ ἀδιαίρετός ἐστι· κινεῖ γὰρ τὸν ἄπειρον χρόνον. οὐδὲν δ᾽ ἔχει δύναμιν ἄπειρον πεπερασμένον. ἐπεὶ δὲ πᾶν μέγεθος, ἢ ἄπειρον ἢ πεπερασμένον, πεπερασμένον μὲν διὰ τοῦτο οὐκ ἂν ἔχοι μέγεθος· ἄπειρον δ᾽, ὅτι ὅλως οὐκ ἔστιν οὐδὲν ἄπειρον μέγεθος. ἀλλὰ μὴν καὶ C ὅτι ἀπαθὲς καὶ ἀναλλοίωτον. πᾶσαι γὰρ αἱ ἄλλαι κινήσεις ὕστεραι τῆς κατὰ τόπον. ταῦτα μὲν οὖν δῆλα, διότι τοῦτον ἔχει τὸν τρόπον.

Κεφάλαιον η.

Πότερον δὲ μίαν θετέον τὴν τοιαύτην οὐσίαν, ἢ πλείους, καὶ πόσας, δεῖ μὴ λανθάνειν, ἀλλὰ μεμνῆσθαι καὶ τὰς τῶν ἄλλων ἀποφάσεις, ὅτι περὶ πλήθους οὐδὲν εἰρήκασιν, D ὅ,τι καὶ σαφὲς εἰπεῖν. ἡ μὲν γὰρ περὶ τὰς ἰδέας ὑπόληψις, οὐδεμίαν ἔχει σκέψιν ἰδίαν. ἀριθμοὺς γὰρ λέγουσι τὰς ἰδέας, οἱ λέγοντες τὰς ἰδέας. περὶ δὲ τῶν ἀριθμῶν, ὁτὲ μὲν ὡς περὶ ἀπείρων λέγουσιν, ὁτὲ δὲ ὡς μέχρι τῆς δεκάδος ὡρισμένων. δι᾽ ἣν δ᾽ αἰτίαν τοσοῦτον τὸ πλῆθος τῶν ἀριθμῶν, οὐδὲν λέγεται μετὰ σπουδῆς ἀποδεικτικῆς. ἡμῖν δ᾽ ἐκ τῶν ὑποκειμένων καὶ διωρισμένων λεκτέον. ἡ μὲν γὰρ ἀρχὴ καὶ τὸ πρῶ- E τον τῶν ὄντων, ἀκίνητον καὶ καθ᾽ αὑτὸ, καὶ κατὰ συμβεβηκός· κινοῦν δὲ τὴν πρώτην καὶ ἀΐδιον, καὶ μίαν κίνησιν. ἐπεὶ δὲ τὸ κινούμενον ἀνάγκη ὑπό τινος κινεῖσθαι, καὶ τὸ πρῶτον κινοῦν ἀκίνητον εἶναι καθ᾽ αὑτὸ, καὶ τὴν ἀΐδιον κίνησιν ὑπὸ ἀϊδίου κινεῖσθαι, καὶ τὴν μίαν ὑφ᾽ ἑνός· ὁρῶμεν δὲ παρὰ τὴν τοῦ παντὸς τὴν ἁπλῆν φορὰν, ἣν κινεῖν φαμὲν τὴν πρώτην οὐσίαν, καὶ ἀκίνητον, ἄλλας φορὰς οὔσας τὰς τῶν πλανήτων ἀϊδίους· F ἀΐδιον γὰρ καὶ ἄστατον τὸ κύκλῳ σῶμα· δέδεικται δὲ ἐν τοῖς φυσικοῖς περὶ τούτων· ἀνάγκη καὶ τούτων ἑκάστην τῶν φορῶν ὑπ᾽ ἀκινήτου τε κινεῖσθαι καθ᾽ αὑτὸ, καὶ ἀϊδίου οὐσίας. ἥ τε γὰρ τῶν ἄστρων φύσις, ἀΐδιος οὐσία τις οὖσα·

καὶ τὸ